## Πρίν ἀπό τή μελέτη τοῦ λόγου τοῦ Θεοῦ

### Α΄

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τό τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καί τούς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμούς, εἰς τήν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καί τόν τῶν μακαρίων σου

ἐντολῶν φόβον, ἵνα τάς σαρκικάς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικήν πολιτείαν μετέλθωμεν, πάντα τά πρός εὐαρέστησιν τήν σήν καί φρονοῦντες καί πράττοντες. Σύ γάρ εἶ ὁ φωτισμός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, Χριστέ ὁ Θεός, καί σοί τήν δόξαν ἀναπέμπομεν σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(Εὐχή θείας Λειτουργίας)